quo afficiatur sincerè iudicans, & qui in se dictum ferre ridiculum, inter importunum, & frigidum medius est. Quæ determinatio melior est, quàm si illuso, quomodocunque affecto, molestum esse quod dicitur asseratur: quippe quod magis placere, ea moderatione prædito conueniat: hic enim rectè iudicat. Cæterùm omnes hę mediocritates etsi laudabiles sunt, non tamen virtutes dici debent, neque earum contraria, vitia, quippe quòd hæc omnia, ex affectionum diuisione, carere electione constat: vnaquæque enim harum affectio quædam est. Et quia naturalis est, ad naturales etiam virtutes refertur. Naturales enim quodammodo virtutes hæ sunt, vt ex sequentibus patebit, cum prudẽtia: vnde & inuidia, iniustitia, (nam ad alium spectant actiones ab ipsa profectæ) & indignatio iustitiæ, verecundia modestiæ adcensentur: quocirca & eo in genere modestiam definiunt. Verus autem, & vanus eiusmodi, vt ille sapiens, hic stultus sit: verùm medium magis extremis contrarium est, quàm ipsa sibi, eo quòd illud cum neutro iungatur, & sit, hæc verò frequenter. Súntque nonnunquam timidi audaces, ac partim prodigi, partim illiberales, & prorsus vitiosè inæquales. Nam cùm rectè inquales sunt, medij existunt: medio nanque extrema aliquo modo insunt. Verùm contrarietates non videntur extremis similiter iuxta medium ambæ inesse. Interdum enim iuxta defectum, aliquando iuxta excessum insunt: quorum causa sunt duo illa suprà commemorata. Paucitas erga iucunda insensatorum, & quod contrarium magis esse videtur, in quo magis peccatur. Tertium verò, quod rarius, minùs contrarium videtur: vt audacia ad fortitudinem, & prodigalitas ad liberalitatem. De reliquis igitur virtutibus laudabilibus ferè dictum est: itaque de iustitia deinceps dicendum erit.

## ARISTOTELIS Ethicorum Eudemiorum

### LIBER QVARTVS.

*Sequentes tres libri totidem ferè verbis inter Nicomacheos leguntur: nec sunt ab interprete qui opus ad Eudemum vertit, translati, exceptis duobus huius libri capitibus. Itaque apposita hîc est versio Dionysij Lambini.*

### CAPVT I.

De iustitia autem & iniustitia hoc videndum est, quibus in actionibus versentur, quænam mediocritas sit iustitia: quarum denique rerum medium sit ius. Quibus in

A ἐφ' ὅσοις ἡσθήσεται εὖ κρίνων, κἂν εἰς αὐτὸν ᾖ
τὸ γελοῖον, μέσος ἔσται τοῦ φορτικοῦ καὶ τοῦ ψυ-
χροῦ. ὁ δ' ὅρος οὗτος βελτίων, ἢ τὸ λυπηρὸν
εἶναι τὸ λεχθὲν τῷ σκωπτομένῳ ὄντι ὁποιῳοῦν.
μᾶλλον γὰρ δεῖ τῷ ἐν μεσότητι ὄντι ἀρέσκειν·
οὗτος γὰρ κρίνει εὖ. πᾶσαι δ' αὗται αἱ μεσό-
τητες ἐπαινεταὶ μέν, οὐκ εἰσὶ δ' ἀρεταί, οὐδ'
αἱ ἐναντίαι κακίαι. ἄνευ προαιρέσεως γάρ.
B ταῦτα δὲ πάντ' ἐστὶν ἐν ταῖς τῶν παθημάτων
διαιρέσεσιν· ἕκαστον γὰρ αὐτῶν πάθος τί ἐστι.
διὰ δὲ τὸ φυσικὰ εἶναι, εἰς τὰς φυσικὰς συμ-
βάλλεται ἀρετάς· ἔστι γὰρ (ὥσπερ λεχθήσεται ἐν
τοῖς ὕστερον) ἑκάστη πως ἀρετὴ, καὶ φυσικὴ
καὶ ἄλλως μετὰ φρονήσεως. ὁ μὲν οὖν φθόνος εἰς
ἀδικίαν συμβάλλεται. πρὸς γὰρ ἄλλον αἱ πρά-
ξεις αἱ ἀπ' αὐτοῦ· καὶ ἡ νέμεσις εἰς δικαιοσύ-
νην, ἡ αἰδὼς εἰς σωφροσύνην. διὸ καὶ ὁρίζον-
C ται ἐν τῷ γένει τούτῳ τὴν σωφροσύνην. ὁ δ'
ἀληθὴς καὶ ψευδὴς, ὁ μὲν ἔμφρων, ὁ δ' ἄφρων.
Ἔστι δ' ἐναντιώτερον τοῖς ἄκροις τὸ μέσον, ἢ
ἐκεῖνα ἀλλήλοις· διότι τὸ μὲν μετ' οὐδετέρου
γίνεται αὐτῶν, τὰ δὲ πολλάκις μετ' ἀλλήλων,
καὶ εἰσὶν ἐνίοτε οἱ αὐτοὶ θρασύδειλοι· καὶ τὰ
μὲν ἄσωτοι, τὰ δὲ ἀνελεύθεροι· καὶ ὅλως ἀνώ-
μαλοι κακῶς. ὅταν μὲν γὰρ καλῶς ἀνώμαλοι
εἰσιν, μέσοι γίνονται. ἐν τῷ μέσῳ γὰρ ἐστί πως
D τὰ ἄκρα. αἱ δ' ἐναντιώσεις οὐ δοκοῦσιν ὑπάρ-
χειν τοῖς ἄκροις πρὸς τὸ μέσον ὁμοίως ἀμφό-
τεραι, ἀλλ' ὁτὲ μὲν κατὰ ὑπερβολὴν, ὁτὲ δὲ κατὰ
ἔλλειψιν. αἴτια δὲ τά τε πρῶτα ῥηθέντα δύο·
ὀλιγότης τε, οἷον τῶν πρὸς τὰ ἡδέα ἀναισθή-
των, καὶ ὅτι ἐφ' ὃ ἁμαρτάνομεν, μᾶλλον τοῦτο
ἐναντιότατον εἶναι δοκεῖ. τὸ δὲ τρίτον, ὅτι τὸ ὁ-
μοιότερον, ἧττον ἐναντιώτερον φαίνεται· οἷον πέ-
E πονθε τὸ θάρσος πρὸς τὸ θράσος, καὶ ἀσωτία
πρὸς ἐλευθεριότητα. περὶ μὲν οὖν τῶν ἄλλων
ἀρετῶν τῶν ἐπαινετῶν εἴρηται σχεδόν. περὶ δὲ δι-
καιοσύνης ἤδη λέξεται.

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ ἠθικῶν Εὐδημίων

### τὸ Δ.

F

### Κεφάλαιον α.

Περὶ δὲ δικαιοσύνης καὶ ἀδικίας σκεπτέον, περὶ ποίας τε τυγχάνουσιν οὖσαι πράξεις, καὶ ποία μεσότης ἐστὶν ἡ δικαιοσύνη, καὶ τὸ δίκαιον τίνων μέσον. ἡ δὲ σκέψις ἡμῖν ἔστω

κατὰ τὴν